πρὸϲ τοῖϲδε δ᾽, εἰ μὲν μὴ ἀδικουμένοιϲ ἐχρῆν
τολμηρὸν εἶναι, κάρτ᾽ ἂν εἶχον ἡϲύχωϲ.
νῦν δ᾽ ἴϲθι ϲοί τε τοῦθ᾽ ὅϲην τιμὴν φέρει
κἀμοὶ παραινεῖν οὐ φόβον φέρει, τέκνον,
ἄνδραϲ βιαίουϲ καὶ κατείργονταϲ νεκροὺϲ
τάφου τε μοῖραν καὶ κτεριϲμάτων λαχεῖν
ἐϲ τήνδ᾽ ἀνάγκην ϲῆι καταϲτῆϲαι χερὶ
νόμιμά τε πάϲηϲ ϲυγχέονταϲ Ἑλλάδοϲ
παῦϲαι· τὸ γάρ τοι ϲυνέχον ἀνθρώπων πόλειϲ
τοῦτ᾽ ἔϲθ᾽, ὅταν τιϲ τοὺϲ νόμουϲ ϲώιζηι καλῶϲ.
ἐρεῖ δὲ δή τιϲ ὡϲ ἀνανδρίαι χερῶν,
πόλει παρόν ϲοι ϲτέφανον εὐκλείαϲ λαβεῖν,
δείϲαϲ ἀπέϲτηϲ, καὶ ϲυὸϲ μὲν ἀγρίου
ἀγῶνοϲ ἥψω φαῦλον ἀθλήϲαϲ πόνον,
οὗ δ᾽ ἐϲ κράνοϲ βλέψαντα καὶ λόγχηϲ ἀκμὴν
χρῆν ἐκπονῆϲαι δειλὸϲ ὢν ἐφηυρέθηϲ.
μὴ δῆτ᾽ ἐμόϲ γ᾽ ὤν, ὦ τέκνον, δράϲηιϲ τάδε.
ὁρᾶιϲ ἄβουλοϲ ὡϲ κεκερτομημένη
τοῖϲ κερτομοῦϲι γοργὸν ὄμμ᾽ ἀναβλέπει
ϲὴ πατρίϲ; ἐν γὰρ τοῖϲ πόνοιϲιν αὔξεται·
αἱ δ᾽ ἥϲυχοι ϲκοτεινὰ πράϲϲουϲαι πόλειϲ
ϲκοτεινὰ καὶ βλέπουϲιν εὐλαβούμεναι.
οὐκ εἶ νεκροῖϲι καὶ γυναιξὶν ἀθλίαιϲ
προϲωφελήϲων, ὦ τέκνον, κεχρημέναιϲ;
ὡϲ οὔτε ταρβῶ ϲὺν δίκηι ϲ᾽ ὁρμώμενον
Κάδμου θ᾽ ὁρῶϲα λαὸν εὖ πεπραγότα
ἔτ᾽ αὐτὸν ἄλλα βλήματ᾽ ἐν κύβοιϲ βαλεῖν